# Φιλιπποπόλεως Σιλβανός.

Νικηφόρ. Καλλίστ. Ἐκκλ. Ἱστ. Τ. XIV Κ. ΛΘ'.

Εἰς Τρωάδα ἀπὸ τῆς ἐν Θράκῃ Φιλιππουπόλεως Σιλβανὸς μετεχώρησε.

Ρητορικὴν γὰρ ἀσκήσας οὗτος πρότερον παρὰ τῷ σοφιστῇ Τρωΐλῳ, τὴν σπουδὴν ἅπασαν πρὸς τὸ χριστιανίζειν ἔθετο· ἀσκητικὸν δὲ μετερχόμενος βίον, τρίβωνα φορῶν παρῃτεῖτο· ὃν ὁ ἐπίσκοπος (Σ. Αὐλῆς κτλ.) Ἀττικὸς συναρπάσας, Φιλιππουπόλεως ἔδειξεν ἐπίσκοπον· ἐν ᾗ τρίτον ἔτος διαγαγὼν τὸ τοῦ τόπου μὴ ὑποφέρων δυσχείμερον (ἐξ ἀσθενείας γὰρ ἦν ἐκείνῳ τὸ σῶμα ἢ παντάπασιν ἄπορον), ἱκέτευε Ἀττικῷ προσιών, ἕτερον εἰς τὸν αὐτοῦ τόπον ἐπίσκοπον καθιστᾶν, ἄλλο μηδὲν προβαλλόμενος ἢ τὸ κρύος αἴτιον τῆς παραιτήσεως γίνεσθαι. Καὶ δὴ ἑτέρου ἐπισκόπου εἰς τὸν ἐκείνου τόπον καταστάντος, Σιλβανὸς ἐν τῇ Κωνσταντινουπόλει τὰς διατριβὰς ἐποιεῖτο, ἄκρως τὸν ἀσκητικὸν μετιὼν βίον.

Ἐπὶ τόσον δὲ αὐτῷ τὸ ἄτυφον ἢ ἀπερίττον ἦν, ὡς ὅπερ ἐν πολυανθρώπῳ πόλει στρεφόμενος, χόρτινα ὑποδεδέσθαι σανδάλια.

Ὀλίγου δ' ἐνιαυτοῦ παριόντος, ὁ τὴν ἐπισκοπὴν τῆς ἐν Τρωάδι ἐκκλησίας κεκληρωμένος ἐτελεύτα. Οἱ δὲ Τρῶες παρῆσαν ζητοῦντες ἐπίσκοπον. Τοῦ δὲ Ἀττικοῦ ἐν συννοίᾳ καθεστηκότος τίνα χειροτονῆσαι, παρὼν Σιλβανὸς τηνικαῦτα κατὰ θέαν αὐτοῦ.

Ὁ δὲ καὶ ἰδών, ὡς ἐκείνῳ τῆς Τροίας τὴν προστασίαν ἔθετο. Καὶ πρὸς ἐκεῖνον ἐπιστραφείς, Τοῦ λοιποῦ σοι, ἔφη, πᾶσα περιῄρηται πρόφασις προστασίαν ἐκκλησι-

2/ ας ἀποδιδράσκειν· πολὺ γὰρ τὸ ψῦχος ἐν τῇ Τρῳάδι· ἐπεὶ ὁ καιρὸς τόπος ηὐτρέπιστο πρὸς θεοῦ· τοίνυν μὴ λέγε, ἀλλ' εἰς Τροίαν ὅσον τάχος πορεύου. Μετέβη τοίνυν ἐκεῖσε ὁ Σιλβανός, - - - καὶ πολ-λῶν ἐπεμαρτύρει (ἡ ἐπαρχία) τῷ Σιλβανῷ.

Ἀγαθὸς δὲ ἀνὴρ τὰ μάλιστα ὤν, - - τοὺς τῶν αἰτούντων χάριτας λαμβάνειν, ἐπὶ τῶν κρίσεων, ἣν ἤδη διαφερόντως πολλὴν πρόνοιαν τοῦ δικαίου ποιούμενος, μάλιστα ... τὰς δίκας ἐγχειρίζειν ἐκείνῳ, τὰς τῶν δικαζομένων ἐκκλησίας ἀπήλαυνεν.

Θεόστρατος (Σωκρ. Ἱστορ. Ζ΄ βιβλ. ἐν τῷ λζ΄ κεφ. «Περὶ ... τοῦ ἀπὸ Φιλιππουπόλεως ... ἐπισκόπου Φ/λεως ἐν Τρῳάδι μετατεθέντος» ... ἐν Τρῳάδι διαμείναντος (Migne Patrol. τ. 67 σ. 824) «Ἦν δὲ Σιλβανὸς καὶ τὰ ἄλλα ἀνὴρ ἀγαθός. Καὶ δὴ γὰρ τῇ κληρικῇ ἐπιτροπὴν συνορῶν τὰς τῶν διαφερομένων ἐκκλησιῶν, οὐδένα τῶν τοῦ κλήρου δικαστὴν ἐδίδου· ἀλλὰ τὰ βιβλία τῶν δεομένων δεχόμενος, παρεκάλει ἕνα τῶν πιστῶν λαϊκῶν ὃν ᾔδει φιλοῦντα τὸ δίκαιον· καὶ τούτῳ ἐγχειρίσας τὴν ἀκρόασιν, τοὺς δικαζομένους τῆς ἐκκλησίας ἀπήλαυνεν.